www.tezaurliturgic.ro

ΝΙΚΟΔΗΜΟΥ
ΝΥΚΤΕΡΙΝΟΥ




# ΒΙΟΣ ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ ΟΣΙΟΥ ΙΩΑΝΝΟΥ ΘΕΡΙΣΤΟΥ

ΕΚΔΟΣΙΣ
Ι.Μ. ΟΣΙΟΥ ΙΩΑΝΝΟΥ
ΘΕΡΙΣΤΟΥ

ΑΘΗΝΑ 2003

ΝΙΚΟΔΗΜΟΥ ΝΥΚΤΕΡΙΝΟΥ ΒΙΟΣ ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ ΟΣΙΟΥ ΙΩΑΝΝΟΥ ΘΕΡΙΣΤΟΥ

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΕΝ ΑΓΙΟΙC ΠΑΤΡΟC ΗΜΩΝ
## ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΡΙCΤΟΥ

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

Τῇ ΚΔ΄ τοῦ αὐτοῦ μηνός
Μνήμη τοῦ Ὁσίου Πατρός ἡμῶν Ἰωάννου τοῦ Θεριστοῦ, τοῦ ἐν Καλαβρίᾳ.

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τό Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄ καί ψάλλομεν Στιχηρά προσόμοια γ΄, δευτεροῦντες αὐτά.

*Ἦχος δ΄*
*Ὡς γενναῖον ἐν Μάρτυσιν*

**Τ**ῆς μητρός τήν εὐσέβειαν, ἀσπασάμενος Ὅσιε, πατρικήν ἀσέβειαν ἐγκατέλειπες, καί τόν σταυρόν σου δεξάμενος, διέβης τήν θάλασσαν καί εἰς πόλιν εὐσεβῆ τοῦ Κυρίου κατέφθασες, θείῳ Πνεύματι ὁδηγούμενος· ὅθεν μοναζόν-

www.tezaurliturgic.ro



των, ὁδηγός κανών καί τύπος, γέγονας πίστει περίδοξος.

**Τ**ῶν χαρίτων τοῦ Πνεύματος, ταῖς ἐνθέοις ἐλλάμψεσι, φαιδρυνθείς θεόφρον τε καί μακάριε, φωστήρ ἐδείχθης τῆς Δύσεως, ὀδύνας κακώσεων καί τό σκότος τῶν παθῶν, ἀπελαύνων πρεσβείαις σου, καί ῥυόμενος, νοσημάτων παντοίων καί κινδύνων, τούς ἐν πίστει ἐκτελοῦντας, τήν παναοίδιμον μνήμην σου.

**Ἐ**γκρατείας τοῖς βέλεσι τόν ἐχθρόν ἐτραυμάτισας καί τάς τούτου φάλαγγας ἐξεπόρθησας· διό τῆς νίκης ἀπέλαβες, βραβεῖα μακάριε, παρ' αὐτοῦ τοῦ κραταιῶς, σέ Χριστοῦ ἐνισχύσαντος· ὅν ἱκέτευε, ἐκ φθορᾶς καί κινδύνων λυτρωθῆναι, τούς ἐν πίστει ἐκτελοῦντας, τήν ἀεισέβαστον μνήμην σου.

*Δόξα. Ἦχος β'.*

**Ἀ**νδρειφρόνως τελέσας τό ἀσκητικόν στάδιον, τόν δίαυλον τῶν ἀρετῶν διῆλθες προθύμως· ἐσύναξας εἰς ἀποθή-

www.tezaurliturgic.ro



κην οὐράνιον τούς στάχυας τῶν ἀρετῶν σου, τούς τῶν παθῶν θῆράς τε νεκρώσας, τό κατ' εἰκόνα ἀλώβητον διέσωσας· Πνεύματος δέ ταμίας γενόμενος, τά πόῤῥω ὡς ἐνεστῶτα προεῖδες, καί θαυματουργός ἀνεδείχθης, θεοφόρε πάτερ ἡμῶν Ἰωάννη· καί νῦν τῷ θρόνῳ τῷ θείῳ παριστάμενος, πρεσβεύεις ἀπαύστως, σωθῆναι τάς ψυχάς ἡμῶν.

*Καί νῦν. Θεοτοκίον.*

**Τ**ήν πᾶσαν ἐλπίδα μου, εἰς σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην σου.

*Ἀπόστιχα Στιχηρά*

*Ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.*

**Δ**όλος τῶν πονηρῶν, ἐχθρῶν σου θριαμβεύσας τῇ τοῦ Σταυροῦ δυνάμει, τό βάπτισμα ἐδέξω, Ἰωάννη πάτερ ὅσιε.

Στίχ. Τίμιος ἐναντίον Κυρίου...

**Φ**έρων ἐν ταῖς χερσί, σου Πάτερ τοῦ

www.tezaurliturgic.ro



Κυρίου, Σταυρόν τάς τῶν ἐχθρῶν σου, ἐνέδρας καί διώξεις, μακάριε διέφυγες.

Στίχ. Μακάριος ἀνήρ, ὁ φοβούμενος...

**Ἤ**ρθης ὡς Ἠλιού, ἐν ἅρματι πυρίνῳ, καί συνεκράσθης μάκαρ, ἀμέσως τῇ Τριάδι, Ἰωάννη ἀξιάγαστε.

*Δόξα. Καί νῦν.*
*Θεοτοκίον, ὅμοιον.*

**Χ**αῖρε ἡ τήν χαράν, τοῦ κόσμου δεξαμένη, Χριστόν τόν Ζωοδότην, καί παύσαντα τήν λύπην, Παρθένε τῆς Προμήτορος.

*Ἀπολυτίκιον*

**Μ**ωυσέως Δαβίδ τε ὄντως τό πρᾶον.

www.tezaurliturgic.ro

# ΕΝ Τῼ ΜΕΓΑΛῼ ΕΣΠΕΡΙΝῼ

Εἰς τό Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους καί ψάλλομεν Στιχηρά προσόμοια γ΄, δευτεροῦντες αὐτά.

*Ἦχος δ΄. Ὅτε ἐκ τοῦ ξύλου.*

**Ὤ**φθης, ἀπό βρέφους ἀγαθήν, πάτερ ἐκλεξάμενος ὄντως, μερίδα φίλος Θεοῦ, πατρικήν ἀσέβειαν ἀπαρνησάμενος, μητρικήν δέ εὐσέβειαν ποθήσας ἐμφρόνως, ὅθεν συγχορεύεις νῦν, τῶν πρωτοτόκων σκηναῖς, ἔνθα μνημονεύων μή παύσῃ τῶν ἐπιτελούντων σοι πόθῳ τό φαιδρόν μνημόσυνον μακάριε.

**Θ**εῖον προσκυνοῦντά σε σταυρόν, ἐν ταῖς ἐκκλησίαις παμμάκαρ, ἀεί σχολάζοντα, καί φωτός δεικνυμένου, καί τῆς ἡμέρας υἱόν, οἱ τοῦ σκότους μή φέροντες, ἀπόγονοι βλέπειν, τύπτοντες ἐμάστι-

www.tezaurliturgic.ro



ζον καί κατηκίζοντο, σέ δέ διαφύλαττε χάρις, θεία εἰς πολλῶν σωτηρίαν, ἀξιομνημόνευτε πατήρ ἡμῶν.

**Λ**όγοις πειθαρχήσας τῆς μητρός, τήν τῆς ἀσεβείας μητέρα, πόλιν κατέλιπες καί τήν πρός εὐσέβειαν, φέρουσαν ἤνυες, ἀτραπόν παναοίδιμε, ἐν ᾗ θείῳ ζήλῳ, ὥσπερ τόν Αἰγύπτιον, πάλαι ὁ μέγας Μωυσής, οὕτως καί αὐτός κατασφάξας, τόν ἐχθρόν καί βάρβαρον κύνα, ἐκ θανάτου ἥρπασας ἀθώων ψυχάς.

*Δόξα. Ἦχος πλ. δ΄.*

**Τ**όν τοῦ σεμνοῦ Βαπτιστοῦ ὡς ἐπώνυμον καί υἱόν γνήσιον τῆς χάριτος, εὐφημήσωμεν Ἰωάννην τὸν Θεριστήν τόν συναθροίζοντα Χριστῷ θέρος πολύ λογικόν εἰς τήν ἅλωνα τῆς ἀσκήσεως, καί δυσωποῦντα τοῦ συνάγεσθαι εἰς τήν Χριστοῦ ἀποθήκην αἰώνιον τάς ψυχάς ἡμῶν.

*Καί νῦν. Θεοτοκίο.*

**Ὁ** Βασιλεύς τῶν οὐρανῶν...

www.tezaurliturgic.ro



Ἀναγνώσματα ὁσιακά

*Ἀπόστιχα*
*Χαίροις ἀσκητικῶν**

**Χ**αίροις τῆς Καλαβρίας φωστήρ, ἀγωνισμάτων τό εὐῶδες κειμήλιον· σταυρόν γάρ ἐπ' ὤμων ἄρας, καί νουθεσίᾳ μητρός, ἀσεβείας πόλιν ἐγκατέλιπες, ἐχθρούς δέ κατῄσχυνας, καί πλησίστιος ἔφθασας, εἰς πόλιν Στύλον, ἐν ᾗ θεῖον βάπτισμα ἀγαλλόμενος εὐσεβῶς ἐπεπόθησας. Ὅθεν σου τό μνημόσυνον, τελοῦντες πανεύφημε, οἱ τρικυμίαις τοῦ βίου, περιστατούμενοι σώζονται, Χριστόν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

**Φ**λόγα τῆς πρός Θεόν ἀκλινοῦς, καί διαπύρου καί θερμῆς ἀγαπήσεως, ἐξάψας τόν οὐρανόθεν, ἀντεκομίσω πυρσόν εὐδοκίαν θείαν σοι κομίζοντα· Θεοῦ τήν λαμπρότητα, θεωρεῖν γάρ ἠγάπησας,

www.tezaurliturgic.ro



τῆς ἀληθοῦς δέ, νῦν σκηνῆς τήν εὐπρέπειαν, καί τήν ἄφραστον καθορᾷς ὡραιότητα, ἥνπερ ἐθεμελίωσεν, ὁ Ὕψιστος. Ὅσιε καί κατοικίζει προθύμως, τούς πρός αὐτόν ἀνανεύοντας. Αὐτόν δωρηθῆναι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τό μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνήρ, ὁ φοβούμενος τόν Κύριον.

**Χ**αίροις ὁ τοῦ Προδρόμου πιστός, καί μιμητής ἀληθῶς σύ γενόμενος, ἐδείχθης ἐν κόσμῳ Πάτερ, καταλαμπρύνων ψυχάς τῶν πιστῶς θεόφρον προσιόντων σοι, πρός φῶς ὁδηγῶν αὐτούς, τό ἀνέσπερον Ὅσιε, καί ἐν τῷ ψύχει, θερμαινόμενος ἄνωθεν, θείᾳ χάριτι, διετέλεις εὐχόμενος. Ὅθεν καί τόν τῆς νίκης σοι, προδήλως δεδώρηται στέφανον Πάτερ τῆς θείας δικαιοσύνης ὁ πρύτανις, Χριστός· ὅν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

www.tezaurliturgic.ro



*Δόξα. Ἦχος πλ. δ'.*

**Τ**ῶν μοναστῶν τά πλήθη, τόν καθηγητήν σέ τιμῶμεν Ἰωάννη Πατήρ ἡμῶν· διά σοῦ γάρ τήν τρίβον, τήν ὄντως εὐθεῖαν, πορεύεσθαι ἔγνωμεν. Μακάριος εἶ, τῷ Χριστῷ δουλεύσας, καί ἐχθροῦ θριαμβεύσας τήν δύναμιν, Ἀγγέλων συνόμιλε, Δικαίων ὁμόσκηνε καί Ὁσίων· μεθ᾽ ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

*Καί νῦν. Θεοτοκίον.*

**Ἀ**νύμφευτε Παρθένε, ἡ τόν Θεόν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε· ἡ πᾶσι χορηγοῦσα, καθαρισμόν τῶν πταισμάτων, νῦν τάς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Ἀπολυτίκιον. Ἦχος β'.*

**Μ**ωυσέως Δαβίδ τε ὄντως τό πρᾷον, Φινεές καί Ἠλιοῦ τόν θεῖον ζῆλον τοῦ

www.tezaurliturgic.ro



Ἀβραάμ δέ τήν πίστιν κτησάμενος, νῦν σύν ἐκείνοις χορεύεις γηθόμενος, Ἰωάννη πατήρ ἡμῶν ὅσιε· διό ὑπέρ ἡμῶν δυσώπει τόν Κύριον.



www.t…aurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα.*
*Ἦχος α΄. Τόν τάφον σου Σωτήρ.*

**Τ**όν βίον εὐσεβῶς, ἐπί γῆς ἐκτελέσας, δοχεῖον καθαρόν, σύ τοῦ Πνεύματος ὤφθης, φωτίζων τούς ἐν πίστει σοι προσιόντας πανεύφημε· ὅθεν αἴτησαι, τόν σόν Δεσπότην φωτίσαι, τάς ψυχάς ἡμῶν, τῶν ἀνυμνούντων σε πόθῳ, θεόφρον Πατήρ ἡμῶν.

*Θεοτοκίον*

**Μ**ητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καί μετά τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρός τήν σήν ἀγαθότητα· σέ γάρ ἔχομεν, ἁμαρτωλοί προστασίαν· σέ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τήν μόνην Πανάμωμον.

www.tezaurliturgic.ro



*Μετά τήν β' Στιχολογίαν, Κάθισμα.*
*Ἦχος πλ. δ'. Τήν Σοφίαν καί Λόγον.*

**Ἐ**ν σκηναῖς οὐρανίαις ἡ καθαρά, καί ἀμώμων ψυχή σου χοροβατεῖ, σύν ἀγγέλοις ὅσιε καί σύν πᾶσιν ἁγίοις, καί ἐπί γῆς ἡ πάντιμος σορός τοῦ λειψάνου σου, ἐκπέμπει παράδοξα, τοῖς ἐν πίστει προστρέχουσι δόξαν ἐκομίσω, παρά τοῦ στεφοδότου, ἀξίαν τῶν πόνων σου, εἰληφώς τήν ἀντάμειψιν, Ἰωάννη μακάριε. Πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων, ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τήν ἁγίαν μνήμην σου.

*Θεοτοκίον*

**Τ**ήν Σοφίαν καί Λόγον ἐν σῇ γαστρί, συλλαβοῦσα ἀφράστως Μήτηρ Θεοῦ, τῷ κόσμῳ ἐκύησας, τόν κόσμον κατέχοντα· καί ἐν ἀγκάλαις ἔσχες τόν πάντα συνέχοντα, τόν τροφοδότην πάντων, καί πλάστην τῆς κτίσεως· ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλω παρίστασθαι, πρό προ-

www.tezaurliturgic.ro



σώπου τοῦ Κτίστου μου. Δέσποινα Παρθένε Ἁγνή, τήν σήν βοήθειαν τότε μοι δώρησαι· καί γάρ δύνασαι, ὅσα θέλεις πανάμωμε.

*Μετά τόν Πολυέλεον. Κάθισμα*.*
*Ἦχος πλ. δ'. Τήν Σοφίαν καί Λόγον.*

**Τ**ά ἐπίγεια πάντα καταλιπών, καί ἐν κόσμῳ ὑπάρχων σωματικῷ· τῷ πνεύματι γέγονας, τοῦ Προδρόμου συμμέτοχος· τά γάρ παρόντα πάθη νεκρώσας τοῦ σώματος, τῆς Τριάδος ἐδείχθης θεράπων μακάριε. Ὅθεν καί νοσούντων, θεραπεύεις τά πάθη καί λόγῳ τά πνεύματα, ἀπελαύνεις τῇ χάριτι θεοφόρε πατήρ ἡμῶν. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τήν ἁγίαν μνήμην σου.

*Δόξα καί νῦν. Θεοτοκίον.*

**Τ**ήν οὐράνιον πύλην καί κιβωτόν, τό πανάγιον ὄρος, τήν φωταυγῆ, νεφέλην ὑμνήσωμεν, τήν οὐράνιον κλίμακα, τόν λογικόν παράδεισον, τῆς Εὔας τήν λύ-

www.tezaurliturgic.ro



τρωσιν, τῆς οἰκουμένης πάσης τό μέγα κειμήλιον· ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τοῦ κόσμου καί ἄφεσις, τῶν πολλῶν ἐγκλημάτων· διά τοῦτο βοῶμεν αὐτῇ· πρέσβευε τῷ σῷ Υἱῷ καί Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τόν ἄχραντον τόκον σου.

Οἱ Ἀναβαθμοί, τό α′ Ἀντίφωνον τοῦ δ′ Ἤχου.

*Προκείμενον.*

*Ἦχος δ′. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ*

Στίχ. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ...

Τό Πᾶσα πνοή, Εὐαγγέλιον Ὁσιακόν καί ὁ Ν′.

*Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.*

*Καῖ νῦν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.*

*Εἶτα τό Ἰδιόμελον. Ἦχος πλ. β′.*

**Ὅ**σιε Πάτερ, εἰς πᾶσαν τήν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων

www.tezaurliturgic.ro



σου, δι' ὧν ἐν τοῖς οὐρανοῖς εὗρες μισθόν τῶν καμάτων σου. Τῶν δαιμόνων ὤλεσας τάς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τά τάγματα, ὧν τόν βίον ἀμέμπτως ἐζήλωσας. Παῤῥησίαν ἔχων πρός Χριστόν τόν Θεόν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Σῶσον ὁ Θεός...

Εἶτα Κανών πρῶτος,
ἦχ. πλ. δ΄. Φέρων ἀκροστιχίδα:
*Σοί τοῦ Προδρόμου τῷ ἐπωνύμῳ κρότος.*

Ποίημα Βαρθολομαίου

*Ὠδή α΄. Ἆσμα ἀναπέμψωμεν.*

**Σ**ῶτερ τοῦ ἐλέους ἡ πηγή, ἡ τῆς σοφίας ἄβυσσος, τῶν ἀγαθῶν ὁ δοτήρ, τό φῶς τό πρό αἰώνων, φωσφόροις με φώτισον τοῦ Ὁσίου πρεσβείαις, ὅπως τοῦτον φαιδρῶς ἀνυμνήσω.

**Ὅ**λος τῇ Τριάδι παρεστώς, λελαμπρυσμένος, ἔνδοξε, μετά ἁγίων πάντων, τούς πίστει τήν ἁγίαν τελοῦντας σου σήμερον,

www.tezaurliturgic.ro



μνήμην παθῶν ἀχλύος λυτρωθῆναι δυσώπει ἀπαύστως.

Ἵνα τῆς ζωῆς τῆς ἀληθοῦς ἀξιωθῇς πανόλβιε, τήν πατρικήν ἐμφρόνως ἀσέβειαν ἠρνήσω καί πίστιν ἠγάπησας εὐσεβῆ τῆς τεκούσης, δι' ἧς τέκνον Θεοῦ ἀνεδείχθης.

*Θεοτοκίον*

Τίκτεις πρό αἰώνων Ὅν Πατήρ ἀῤῥεύστως ἀπεγέννησε, Παρθένε Θεοτόκε, τῶν χρόνων ἐπ' ἐσχάτων, Ὅν νῦν καθικέτευε ταύτην τήν σε τιμῶσαν ποίμνην πάσης ἀνάγκης ῥυσθῆναι.

Ἕτερος κανών φέρων ἀκροστιχίδα:
*Ἰωάννου Θεριστοῦ με τό κλέος δοξαζέτω.*

Ποίημα Λέοντος Στύλου

*Ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.*

Ἱλασμόν τῶν ἐπταισμένων καί φωτισμόν, τῷ νοΐ παράσχου μοι προθεμένῳ ἀνυμνεῖν, ὁ Θεός θεράποντα τόν Σόν, χορηγέ τῶν ἀγαθῶν, ἡ τῆς σοφίας πηγή.

www.tezaurliturgic.ro



**Ὡ**ς ἀγγελικῶς βιώσας νῦν σύν αὐτοῖς, τῇ Τριάδι ὅσιε παριστάμενος ἡμῶν, τῶν ἐπιτελούντων σου πιστῶς, τήν ἁγίαν καί φαιδράν, μνήμην μνημόνευε.

**Ἄ**στρον ὑπέρλαμπρον ὥσπερ ἀπό νεφῶν, τῶν ἀπίστων ἔφανας, ἐδαδούχησας ἡμᾶς· ζῶν καί μεταστάς εἰς οὐρανούς, ἀλλά πρέσβευε καί νῦν, ὑπέρ τῶν δούλων σου.

*Θεοτοκίον*

**Ν**οητή κλίμαξ ἐδείχθης, δι' ἧς Θεός καταβάς ἀνήγαγε, τήν οὐσίαν τῶν βροτῶν εἰς τά ὑπερκόσμια ἁγνή, τῶν ἀΰλων οὐσιῶν, θεῖα σκηνώματα.

*᾿Ωδή γ΄. ῾Ο στερεώσας κατ᾿ ἀρχάς.*

**Ὁ** προειδώς τό εὐγενές τῆς σῆς ψυχῆς, θεοφόρε Ἰωάννη, καί πρίν ἤ βαπτισθῆναι, αὐτουργόν σε φοβερόν θαυμάτων ἀναδείκνυσι· τῶν γάρ βοῶν ἀγέλαι τόσον ἠδέσθησαν πρόσταγμα.

**Ὑ**πό τοῦ Πνεύματος, σοφέ, Παναγίου,

www.tezaurliturgic.ro



Ἰωάννη Θεοφόρε, ὁδηγούμενος φθάνεις πόλιν Στύλου ἐν χαρᾷ, ἐν ᾗ τό θεῖον Βάπτισμα λαβών, τῆς εὐσεβείας στῦλος ἐδείχθης ἀκλόνητος.

**Π**ρός τόν Θεόν καί Λυτρωτήν ὡς κεκτημένος, παμμάκαρ, παῤῥησίαν, Ἰωάννη, τούς πίστει τήν ἁγίαν καί φαιδράν ἐπιτελοῦντας μνήμην σου, ἱκέτευε ῥυσθῆναι πάσης ἀνάγκης καί θλίψεως.

*Θεοτοκίον*

**Ῥ**ύστην τεκοῦσα τοῦ παντός Βασιλέα τῆς δόξης ὑπέρ λόγον, Θεοτόκε Παρθένε, ἐκ παντοίων πειρασμῶν, κινδύνων τε καί θλίψεων τήν σέ τιμῶσαν ποίμνην λύτρωσαι, Κόρη, πρεσβείαις σου.

*Ἕτερος.*
*Οὐκ ἔστιν ἅγιος ὡς Σύ.*

**Ν**οῦν καί ψυχήν ταῖς μητρικαῖς, διδαχαῖς ἐκαθάρθης, καί δοχεῖον ἐγένου εὔχρηστον χωρητικόν, τοῦ θείου καί παντουργοῦ, καί Ἁγίου, Ἰωάννη Πνεύματος.

www.tezaurliturgic.ro



**Ὄ**νειρος θεῖος ἐν νυκτί, προετρέπετο μάκαρ, μετανάστην γενέσθαι ὥσπερ πάλαι Ἀβραάμ, πατρίδος καί συγγενῶν, καί οἰκείων κακοδόξων Ὅσιε.

**Ὕ**ψωθεν ἔπιδε τούς σούς ὑμνητάς Θεοφόρε, καί πρός ἔνθεον πόθον, διαβίβασον ἡμῶν, διάνοιαν καί ψυχήν, καί καρδίαν θείαις σου ἐντεύξεσιν.

*Θεοτοκίον*

**Μ**ίαν ὑπόστασιν σεμνή, ἐν δυσί ταῖς οὐσίαις, ὑπέρ φύσιν καί λόγον, σεσαρκωμένον Θεόν, ἐγέννησας ἀπαθῶς, ὅν δυσώπει σῶσαι τούς ὑμνοῦντας σε.

*Εἱρμός*

**Ο**ὐκ ἔστιν ἅγιος ὡς Σύ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τό κέρας, τῶν πιστῶν Σου Ἀγαθέ, καί στερεώσας ἡμᾶς, ἐν τῇ πέτρᾳ τῆς ὁμολογίας σου.

*Κάθισμα.**

*Ἦχος πλ. δ'. Τήν Σοφίαν καί Λόγον.*

**Τ**όν λαμπτῆρα τόν μέγαν καί φαεινόν,

www.tezaurlitur



τόν πραότατον ἅμα καί συμπαθῆ, τόν φύσιν νικήσαντα καί σαρκός τά κινήματα, χαλινώσαντα πάντα, Ἰωάννην τόν ὅσιον, καί Χριστῷ ἀπείρῳ τῷ πόθῳ λατρεύσαντα, καί συγκληρονόμον, τῆς αὐτοῦ βασιλείας, γενόμενον, ἅπαντες οἱ πιστοί εὐφημήσωμεν, πρεσβευτήν ὡς θερμότατον. Πρεσβεύει γάρ Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τήν ἁγίαν μνήμην αὐτοῦ.

*Δόξα καί νῦν. Θεοτοκίον.*

**Χ**αριστήριον αἶνον χρεωστικῶς ὡς ἡ χήρα ἐκείνη δύο λεπτά, προσφέρω σοι Δέσποινα, ὑπέρ πασῶν τῶν χαρίτων σου· σύ γάρ ὤφθης σκέπη, ὁμοῦ καί βοήθεια, πειρασμῶν καί θλίψεων, ἀεί με ἐξαίρουσα· ὅθεν ὡς ἐκ μέσου, φλογιζούσης καμίνου, ρυσθείς τῶν θλιβόντων με ἐκ καρδίας κραυγάζω σοι· Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τῷ σῷ Υἱῷ καί Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· σέ γάρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

www.tezaurliturgic.ro



*Ὠδή δ'. Εἰσακήκοα, Κύριε.*

**Ὁ**λικῶς τῷ Δεσπότῃ σου, πάτερ Ἰωάννη, σαὐτόν ἀνέθηκας, καί αὐτῷ μόνῳ ἐπόθησας ὁμιλῆσαι νοῦ σου καθαρότητι.

**Δ**ιανοίας θεώμενος τῆς σῆς τήν εὐθύτητα, παναοίδομε, βασιλείας ὁ ἐπώνυμος μοναζόντων σχῆμα ἐπενδύει σε.

**Ῥ**ῦσαι πάντων, δεόμεθα, πειρασμῶν καί θλίψεων ταῖς πρεσβείαις σου τούς πιστῶς τήν θείαν μνήμην σου ἐκτελοῦντας, πάτερ παμμακάριστε.

*Θεοτοκίον*

**Ὁ** Πατρί συναΐδιος ἐκ τῶν σῶν αἱμάτων, Κόρη, σεσάρκωται, ὅν ἱκέτευε τήν ποίμνην σου λυτρωθῆναι πάσης περιστάσεως.

*Ἕτερος. Χριστός μου δύναμις.*

**Ἐ**ξῆλθες οἴκοθεν, λαθών τόν φύσαντα, λεωφόρου ἐκκλίνας, τήν πρός ζωήν, ἄγουσαν ἐβάδιζες, ὁδόν τραχεῖαν καί στενήν ὁ ὁδηγούμενος.

www.tezaurliturgic.ro



**Τ**όν θηριόγνωμον καί ἀπηνέστατον, ξιφηφόρον αἰχμητήν Ἀγαρηνόν, ἔφιππον ἐπάταξας, πίστει Χριστοῦ κραταιωθείς τούς ἀθώους λυτρωσάμενος.

**Ο**ἱ προσφοιτῶντές σου, πιστῶς, τῇ λάρνακι, ψυχικῶν παθημάτων καί σαρκικῶν νόσων καί τῶν θλίψεων, ἀπαλλαγείημεν ταῖς σαῖς, ἱκεσίαις ἀξιάγαστε.

*Θεοτοκίον*

**Κ**εκοσμημένην σε, πεποικιλμένην χρυσοῖς, κροσσωτοῖς προεώρα ὁ ὑμνῳδός, ἐν προφήταις Δέσποινα, τό ὑπερέχον σῆς δόξης, νοερῶς κατοπτριζόμενος.

*Ὠδή ε΄. Ἵνα τί με ἀπώσω;*

**Μ**ιμητής χρηματίσας, Πάτερ, τοῦ Δεσπότου σου καί πρό βαπτίσματος ἐλεῶν ἐφάνης δεομένους, καί μετά τό βάπτισμα καί θερίζων πάντων ἀπορουμένων τάς ἀρούρας ἐν σπουδῇ, ὡς οὐδείς ἄλλος πώποτε.

**Ὁ** δοξάζων τούς τοῦτον εὐσεβῶς δο-

www.tezaurliturgic.ro



ξάζοντας Θεός καί Κύριος, δοξασθείς ἐνδόξως τῷ ἐνδόξῳ σου βίῳ ἐδόξασε, σέ πολλῶν θαυμάτων φοβερωτάτων ἐπιδείξει περιβόητον δείξας τοῖς πέρασι.

**Ὑ**πέρ πάντων τῶν πόθῳ τήν ἁγίαν μνήμην σου τελούντων πάντοτε δυσωπῶν μή παύσῃ, λυτρωθῆναι κινδύνων καί θλίψεων καί παθῶν παντοίων καί πειρασμῶν καί ἁμαρτίας, Ἰωάννη, ὁσίων τό καύχημα.

*Θεοτοκίον*

**Τ**όν Σωτῆρα τῶν ὅλων ὑπέρ λόγον τέξασα, Θεογεννήτρια, μετά τόκον, ὥσπερ πρό τοῦ τόκου, Παρθένος διέμεινας Ὅν ἀεί δυσώπει ἐν παρθενίᾳ καί ἁγνείᾳ φυλαχθῆναι τήν ποίμνην σου ἄτρωτον.

*Ἕτερος. Τῷ θείῳ φέγγει σου Ἀγαθέ.*

**Λ**ύσας δεσμίους ἅμα αὐτοῖς πορθμόν διαβαίνεις Μεσήνης, ἐντεῦθεν ὑπό τοῦ Πνεύματος, τοῦ Ἁγίου μάκαρ, καθοδηγούμενος, ἔφθασας πόλιν Στύλου, ἐν ᾗ βεβάπτισαι.

www.tezaurliturgic.ro



**Ε**ἴληφας ἀξίως τάς δωρεάς ὡς καί πρό βαπτίσματος θερμῶς, ἐπιποθήσας Χριστόν τόν Θεόν, καί μετά τό θεῖον λουτρόν θερμότερον, ὡς ἄσαρκος τήν φύσιν ἐκβιασάμενος.

**Ὅ**λος ηὐγάσθης ταῖς ἀρεταῖς, ὅλος συμπαθέστατος ὤφθης, ὅλος καθάρσιος γέγονας, καί πρό τοῦ μονάσαι, κοπιῶν ἄμετρα, καί πένητας ἐκτρέφων θεομακάριστε.

*Θεοτοκίον.*

**Σ**έ τήν λαμπάδα τήν φαεινήν, ῥάβδον τήν βλαστήσασαν ἄνθος, τόν φυτουργόν πάσης κτίσεως, τάγματα ἀγγέλων καί γενεαί γηγενῶν, Ἁγνή μακαρίζομεν, κατά τό ῥῆμά σου.

*Ὠδή στ΄. Ἄβυσσος ἁμαρτιῶν.*

**Ὥ**σπερ ἄσαρκος, σοφέ, ἐκαρτέρεις ποταμίοις ἐν ῥείθροις ἐν παγετῷ καί κρύει καί χειμῶνι ἱστάμενος νύκτας ὅλας, ἐν πολλοῖς ἔτεσι θέρμῃ τοῦ Παρακλήτου κρυμόν δαιμόνων λύων πάντοτε.

www.tezaurliturgic.ro



**Ἔ**χων ἔνδον ἐν ψυχῇ ἐνοικοῦσαν, Ἰωάννη Παμμάκαρ, τοῦ Παρακλήτου χάριν, τῶν μελλόντων τήν δήλωσιν ὡς προφήτης καί αὐτός πᾶσι προέλεγες καί πανσόφως τά κεκρυμμένα ἀπεκάλυπτες.

**Π**ρέσβευε ὑπέρ ἡμῶν τῶν τήν θείαν ἐν πίστει τελούντων καί παναγίαν μνήμην Ἰωάννη μακάριε, ἐκ παντοίων πειρασμῶν καί περιστάσεων καί κινδύνων, ὡς ἀγαθός προστάτης λύτρωσαι.

*Θεοτοκίον.*

**Ὤ**ρθωσας, Μήτηρ Θεοῦ, τῆς προμήτορος τήν πτῶσιν τεκοῦσα ἐκ παραδείσου ταύτην τόν τό πρίν ἐξορίσαντα· Ὅν ἱκέτευε ἀεί τούτου μετόχους ἡμᾶς ποιῆσαι καί αἰωνίου πυρός ῥύσασθαι.

*Ἕτερος. Τοῦ βίου τήν θάλασσαν.*

**Δ**ι' ἡμᾶς πιαινόμενος ὑπ' ἀγρύπνου προσευχῆς καί ἀσιτείας ἄστεγε, θερίζεις ὑπεράπειρον θερισμόν, ἐξαίσιον ἄκουσμα, ὄντως θεῖον ἦν ἔργον, οὐκ ἀνθρώπινον.

www.tezaurliturgic.ro



**Ο**ὕτω κατεπάλαισας τόν ἀόρατον ἐχθρόν, πρό τοῦ μονᾶσαι Ὅσιε, τό δ' ἐντεῦθεν οὐκ ἔστιν ὅλως εἰπεῖν, ἀγγέλους ἐκπλήττουσιν, γενναῖοι ἀγῶνες, οὕς διήνυσας.

**Ξ**ενωθέντας Ἅγιε, τοῦ ποιήσαντος ἡμᾶς, διά κακῶν οἰκείωσιν, ὁ ἐπί ξένοις μέγας ἀναφανείς, αὖθις σαῖς ἐντεύξεσιν, τῷ Θεῷ καί Δεσπότῃ προσοικείωσον.

*Θεοτοκίον*

**Ἄ**σπορος ἡ σύλληψις, ὑπέρ νοῦν ὁ τοκετός, τήν κεκλεισμένην πύλην γάρ, Κύριος διοδεύει παρθενικήν, εἰσιών ἀσώματος, ἐξιών σαρκοφόρος, ὡς εὐδόκησεν.

*Εἱρμός*

**Τ**οῦ βίου τήν θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι Σου προσδραμών, βοῶ Σοι· ἀνάγαγε, ἐκ φθορᾶς τήν ζωήν μου πολυέλεε.

www.tezaurliturgic.ro



*Κοντάκιον.*
*Ἦχος β'. Τά ἄνω ζητῶν.*

**Δ**υνάμει Σταυροῦ, ἐξ ὑβριστῶν λελύτρωσαι, καί μετά πεῖραν Θεριστά βεβάπτισαι· τά σά δέ λιπών ἐν Χριστῷ, Πάτερ, ζῶν λελάμπρυσαι θαύμασιν· ὅθεν τῇ Τριάδι νῦν παρεστώς, μή παύσῃ πρεσβεύων ὑπέρ πάντων ἡμῶν.

*Συναξάριον τοῦ Προδρόμου*

Εἶτα·*

Τῇ αὐτῇ ἡμέρα μνήμη τοῦ ὁσίου πατρός ἡμῶν Ἰωάννου Θεριστοῦ, τοῦ ἐν Καλαβρίᾳ ἀσκήσαντος.

Στίχοι.

*Θερίζων πάντων ἀπορουμένων τάς ἀρούρας*
*ψυχάς συνάγει εἰς ἅλωνα τῆς μετανοίας.*
*Εἰκοστῇ Τετάρτῃ Ἰωάννην ἔνθεν ἄειραν.*

**Ο**ὗτος ὁ τήν Ἑσπερίαν καταυγάσας φωστήρ, ἐγεννήθη περί τάς ἀρχάς τοῦ δεκάτου αἰῶνος ἐν Πανόρμῳ τῆς Σικελίας, βασιλευόντων τῶν εὐλαβεστάτων Ρωμαίων βασιλέων. Ἐγεννήθη ὑπό τινος

www.teza



αἰχμαλώτου χριστιανῆς ὀρθοδόξου, ὀνομαζομένης Καλλίστης, ἐν τῷ παλατίῳ τοῦ τοπικοῦ μουσουλμάνου ἄρχοντος. Ὅτε ἔφθασεν εἰς τήν ἡλικίαν τῶν δεκατεσσάρων ἐτῶν, ἡ μήτηρ ἐφανέρωσε τήν ἀληθῆ πατρίδα, τήν Καλαβρίαν καί προέτρεψε τόν παῖδα κρυφίως νά μεταβῇ ἐκεῖσε, διά νά βαπτισθῇ ὀρθοδόξως. Εἶτα ἡ εὐλαβής γυνή ἠσπάσθη τοῦτον περιπαθῶς, καί ἐπέδωσε τόν Τίμιον Σταυρόν, ὅν ἐφύλαττε κρυφίως, τήν μόνην παραμυθίαν ἐν ταῖς θλίψεσι τῆς ὁμηρίας. Ὁ παῖς διαφυγῶν θαυμασίως τήν καταδίωξιν τῶν Ἀγαρηνῶν ἀπεβιβάσθη εἰς τήν ἀκτήν τοῦ Στύλου, ἔνθα καί ἐβαπτίσθη ὑπό ὀρθοδόξου ἐπισκόπου λαβών τό ὄνομα Ἰωάννης. Εἶτα τόν μονήρη βίον ὑπελθών ἔν τινι μοναστηρίῳ πλησίον τοῦ Στύλου καί πᾶσαν ἰδέαν ἀρετῆς κατορθώσας, ἐτέλεσε πολλά θαύματα ἐν οἷς καί συνέλεξε τούς στάχυας τῶν θεριστῶν, δι' ὅ καί ἀπεκλήθη θεριστής. Προεῖπε τήν κοίμησίν του. Τό δέ τίμιον

www.tezaurliturgic.ro



αὐτοῦ λείψανον κατέστη πηγή θαυμάτων καί ἰάσεων παντοδαπῶν. Κατέστη και κοιμηθείς τόσον περιβόητος, ὥστε καί αὐτοί οἱ Φράγκοι κατακτηταί ἀνήγειραν μετά τοῦ πιστοῦ ὀρθοδόξου, λαοῦ μεγαλοπρεπῆ ναόν πρός τιμήν του. Ἤρξατο ὅμως ἔκτοτε βαθμιαίως ὁ ἐκλατινισμός τῆς περιοχῆς καί οὕτω οἱ ἔσχατοι λατῖνοι μοναχοί τῆς μονῆς ἐγκατέλειψαν αὐτήν καί μετέβησαν εἰς τόν Στύλον φέροντες μετ᾽ αὐτῶν τά τίμια λείψανα τοῦ Ὁσίου καί τῶν ἁγίων Ἀμβροσίου καί Νικολάου τῶν διδασκάλων αὐτοῦ, ἔνθα σώζονται μέχρι τῆς σήμερον. Ἐν ἔτει σωτηρίῳ 1994 ἡ ἱερά μονή ἐπεστράφη ὑπό τῆς παρακείμενης κωμοπόλεως Βομβύκων εἰς τήν Ὀρθόδοξον Μητρόπολιν Ἰταλίας καί οὕτω πάλιν γεραίρεται ὁ Ὅσιος ὀρθοδόξως καί ἀνατολικῶς.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις Χριστέ ὁ Θεός ἐλέησον ἡμᾶς. Ἀμήν.

www.tezaurliturgic.ro



*Ὠδή ζ΄ Ἐν πεδίῳ Δεηρᾶ.*

**Ν**όσων πασῶν καί παθῶν σέ δοκιμώτατον ἰατρόν, ἔδειξεν ὁ πάντων Κτίστης, θεόφρον, Πάτερ καί γάρ ὕδωρ τό ἀποπλῦνον τά μέλη τά σά ἴᾶτο, τούς κραυγάζοντας· ὁ τῶν πατέρων ἡμῶν Θεός, εὐλογητός εἶ.

**Ὑ**ψηλόν ἐπί τῆς γῆς βίον ἐβίωσας, ὅθεν ὁ Ὕψιστος τόν ὑψηλόν σοι τῆς οἰκουμένης, σοφέ, πέμπει φωστῆρα Παῦλον, αὐτοῦ τῶν σεπτῶν Εὐαγγελίων γνῶσίν σε μυσταγωγοῦντα σαφῶς θεόφρον Ἰωάννη.

**Μ**ετά ἀγγέλων τῷ Θεῷ νῦν παριστάμενος ἐν τοῖς ὑψίστοις, σοφέ, παντός κινδύνου καί πάσης βλάβης ἡμᾶς λύτρωσαι σαῖς πρεσβείαις ὑμνοῦντας πιστῶς τῇ μνήμῃ σου καί κράζοντας· ὁ τῶν πατέρων ἡμῶν Θεός, εὐλογητός εἶ.

*Θεοτοκίον*

**Ὡ**ς Σωτῆρα τοῦ παντός, Παρθένε, τέξασα, σῶσον, ἐλέησον τούς πεποιθότας

www.tezaurliturgic.ro



ἐν τῇ σῇ σκέπῃ Ἁγνή, ποίμνην τήν σήν παγίδων ἐχθροῦ νοητοῦ ἐξαίρουσα κραυγάζουσαν· ὁ τῶν πατέρων ἡμῶν Θεός, εὐλογητός εἶ.

*Ἕτερος. Δροσοβόλον μέ τήν κάμινον.*

**Ζ**έσει τοῦ θείου καί παναγίου Πνεύματος, θεοφόρε θαλπόμενος, κρυμώδεις πήξεις ὁλονύκτους ἔτλης καρτερῶς, ἐν ῥείθροις ἑστώς καί μελῳδῶν.

**Ἐ**ν ὀνείροις ἐπιστάς σοι ὁ κλεινότατος τῶν ἀποστόλων ὅσιε, Παῦλος ὁ μέγας, μετέδωκε θείας δωρεᾶς, δι' ἧς ἐμυήθης, ὢ θαῦμα, εὐαγγελίων τήν γνῶσιν θεομακάριστε.

**Τ**ῶν παθῶν ἡμῶν τόν καύσωνα κατάσβεσον, τῇ δρόσῳ τῆς πρεσβείας σου, τῶν ἐπιόντων ἀλγεινῶν ἀπάλλαξον ἡμᾶς, καί δίδαξον μέλπειν ἐμμελῶς, εὐχαριστήριον ὕμνον, τῷ ποιητῇ καί Θεῷ.

www.tezaurliturgic.ro



*Θεοτοκίον.*

**Ὡ**ς συμπαθής καί φιλάγαθος σπλαγνίσθητι, εἰς τήν ἡμῶν ταπείνωσιν καί τήν δέησιν προσάγαγε Δέσποινα τῷ σῷ Υἱῷ καί Θεῷ, τόν ἱλασμόν ἐξαιτουμένη σοῖς δούλοις, πάντα γάρ δύνασαι.

*Ὠδή η΄. Ἑπταπλασίως κάμινον.*

**Κ**ατά παθῶν, μακάριε, προφανῶς βασιλεύσαντι καί τάς τῶν δαιμόνων μηχανάς νικήσαντι ὁ μέγας Ἀπόστολος τῆς οἰκουμένης Παῦλός σοι φαίνεται, ἁγίας δωρεᾶς ἀξιῶν σε καί ταύτῃ τετρακτύν σε ἐκδιδάσκων ἁγίων Χριστοῦ εὐαγγελίων, θεόφρον Ἰωάννη.

**Ῥ**ήξας παθῶν τήν θάλασσαν, ἀπαθείας εἰς ὄρος σε πάτερ Ἰωάννη ἀναβάς, ἀκήκοας φωνῆς μηνυούσης σου τήν ἐκ τοῦ βίου ἔξοδον, θαῦμα φοβερώτατον ἐν ᾗπερ εἰργάσω σοφῇ σοι ἐπινοίᾳ, τόν ξηράν κεκτημένον τήν χεῖρα θεραπεύσας Χριστοῦ τῇ ἐνεργείᾳ.

www.tezaurliturgic.ro



**Ὁ** δοξασθείς Θεός ἡμῶν τῷ ἐνδόξῳ σου, ἔνδοξε, βίῳ σέ δοξάζει θαυμασίοις πλείουσιν· ὅν νῦν καθικέτευε τούς σέ πιστῶς δοξάζοντας δόξης ἀξιῶσαι ἀϊδίου, βοῶντας· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαός ὑπερυψοῦτε, εἰς πάντας τούς αἰῶνας.

*Θεοτοκίον.*

**Τ**ούς πεποιθότας πάντοτε ἐν τῇ σκέπῃ σου, Δέσποινα, πάσης ἐπηρείας τοῦ ἐχθροῦ ἐξάρπασον, ἁγνείᾳ φυλάττουσα καί παρθενίᾳ σκέπουσα τήν ἀκαταπαύστως ἀνυμνοῦσάν σε ποίμνην καί πίστει μελῳδοῦσαν· ἱερεῖς εὐλογεῖτε, λαός ὑπερυψοῦτε, εἰς πάντας τούς αἰῶνας.

*Ἕτερος. Ἐκ φλογός τοῖς ὁσίοις δρόσον ἐπήγασας.*

**Θ**εωρίαν καί πρᾶξιν, ἄκρως κατώρθωσας, διό καί ὡς προφήτης, τά γενησόμενα, βλέπων ἐμφανῶς, προέλεγες θεσπέσιε, δόξαν ἐκομίσω, παρά τοῦ στεφοδότου.

www.tezaurliturgic.ro



**Ἐ**κ προσόψεως μόνης τῶν προσφοιτώντων σοι, ψυχικάς διαθέσεις, κρυφίους πράξεις τε ᾔδεις, ἀκριβῶς, οὕς κατ' ἰδίαν ἤλεγχες, ἐνουθέτης ἅμα καί βελτίους ἐποίεις.

**Ῥ**ῦσαι ἡμᾶς κινδύνων καί περιστάσεων, καί παθῶν πολυτρόπων ταῖς ἱκεσίαις σου, ἔχεις γάρ πολλήν παῤῥησίαν καί δύνασαι ὡς τῷ θείῳ θρόνῳ, παρεστώς τῆς Τριάδος.

*Θεοτοκίον*

**Ἰ**ατρόν τοῖς ἀνθρώποις ἄχραντε τέτοκας, παντοδύναμον λόγον Χριστόν καί Κύριον, τῆς προγονικῆς πληγῆς πάντας ἰώμενον, ὅν ὑπερυψοῦμεν εἰς πάντας τούς αἰῶνας.

*Εἱρμός*

**Ἐ**κ φλογός τοῖς ὁσίοις δρόσον ἐπήγασας καί Δικαίου θυσίαν ὕδατι ἔφλεξας· ἅπαντα γάρ δρᾷς, Χριστέ, μόνῳ τῷ βούλεσθαι· σέ ὑπερυψοῦμεν εἰς πάντας τούς αἰῶνας.

www.tezaurliturgic.ro



*Ὠδή θ'. Ἔφριξε πᾶσα ἀκοή.*

**Ὅ**λος νῦν ἐν τοῖς οὐρανοῖς, τῷ φωτί τῆς τρισηλίου θεότητος καταυγαζόμενος, καί τοῖς ἀγγέλοις συνευφραινόμενος, χωροβατοῦντας ἐπί γῆς καί σέ μακαρίζοντας ἡμᾶς, πρεσβείαις σου, ἐκ παντοίων πειρασμῶν, Πάτερ, λύτρωσαι.

**Σ**ῶμά σου τό καρτερικόν θεῖος τάφος, Ἰωάννης, δεξάμενος, πηγή ἰάσεων ἐδείχθη πᾶσι τοῖς προσπελάζουσιν, παθῶν ξηραίνων ποταμούς καί παύων νοσήματα, καί φλέγων δαίμονας, καί πιστῶν εὐωδιάζων νοήματα.

**Σ**ήμερον ἤθροισται λαός, τήν ἁγίαν σου τελέσαι πανήγυριν, ὅν ταῖς πρεσβείαις σου παντός κινδύνου καί περιστάσεως ἁμαρτιῶν τε καί παθῶν καί θλίψεων λύτρωσαι, καί ἐνδυνάμωσιν τῆς νηστείας περαιῶσαι τό στάδιον.

*Θεοτοκίον.*

**Σ**ύντριψον ἄχραντε Ἁγνή, τοῖς ποσί τῶν ὀρθοδόξως ὑμνούντων σε, τόν πολε-

www.tezaurliturgic.ro



μοῦντα ἐχθρόν καί αἰωνίας ῥῦσαι κολάσεως μετά Πατρός τέκνα ὁμοῦ σκέπουσα, φυλάττουσα καί περιέπουσα, προστασία τῶν πιστῶν ἀκαταίσχυντε.

*Ἕτερος. Θεόν ἀνθρώποις ἰδεῖν ἀδύνατον.*

**Σ**φοδράν τῶν ὄμβρων φοράν ἐξέκλινεν ὁ μαθητής καί μιμητής σου ὅτε τό πρόσταγμα σῆς διακονίας ἐξετέλεσεν· ἄβροχος ὑποστρέψας καί μετ' ἐκπλήξεως καί εὐχαριστίας τό θαῦμα ἐκδιηγούμενος.

**Τ**όν ἐν τῇ κώμῃ τελώνην ἄδικον σαῖς διδαχαῖς σημειοφόρε μή μεταβαλλόμενον, ἀκάθαρτον πνεῦμα ἐτιμώρει δεινῶς, ἐπί χρόνον ὅν ἠλευθέρωσας ἐκδημῶν πρός Κύριον μάκαρ τῆς πικρᾶς μάστιγος.

**Ὁ** προσδεχόμενος ὕμνον ἄπαυστον, ἀγγελικόν, πρεσβείαις τοῦ ὁσίου σου Δέσποτα· τήν δέησιν πρόσδεξαι ἡμῶν τήν οἰκτράν καί παράσχου συγγνώμην ὧν ἐξημάρτομεν, ὡς μόνος ὑπάρχων οἰκτίρμων καί πολυέλεος.

www.tezaurliturgic.ro



*Θεοτοκίον*

**Ὑ**μνεῖν οὐ σθένει σε λόγος βρότειος, μήτηρ Θεοῦ ὡς ἔχουσαν τήν δόξαν ἀσύγκριτον, ναός γάρ ἐγένου καί παλάτιον τῆς ἀπροσίτου δόξης, πύλη οὐράνιε, ἄνοιξον ἡμῖν τάς εἰσόδους τῆς αἰωνίου ζωῆς.

*Εἱρμός*

**Θ**εόν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὅν οὐ τολμᾷ Ἀγγέλων ἀτενίσαι τά τάγματα· διά σοῦ δέ Πάναγνε, ὡράθη βροτοῖς, Λόγος σεσαρκωμένος· ὅν μεγαλύνοντες, σύν ταῖς οὐρανίαις στρατιαῖς σέ μακαρίζομεν.

*Ἐξαποστειλάριον*
*Γυναῖκες ἀκουτίσθητε*

**Π**αθῶν συγκόψας τάς ὁρμάς ὁ Θεριστής, ὡς ἔνδοξος νικήτωρ χαίρων ἀνέβη, εἰς ἄνω φέγγος οὐρανῶν, πᾶσιν Θεῷ εὐξόμενος, τοῦ δοῦναι ἡμῖν μέγα καί πλούσιον ἔλεος.

www.tezaurliturgic.ro



*Ἕτερον. Τῶν μαθητῶν ὁρώντων σε.*

**Ἄ**γγελοι τήν μεγίστην ὑπομονήν σου, καί ἄνθρωποι ἐξίστανται ἐννοοῦντες, δαιμόνων πλῆθος ἔφριττεν ὡς ἐτέλεις, ἐν τῇ κρυμώδει λίμνῃ στάσεις παννύχους, αὐτοπροαίρετε μάρτυς, καί μοναζόντων τό κλέος!

*Εἰς τούς Αἴνους*
*Ἦχος α'. Τῶν Οὐρανίων Ταγμάτων.*

**Τ**οῦ Βαπτιστοῦ, τήν εἰκόνα ἐν ναῷ σκεψάμενος, καί μετουσίας ἴχνη τοῦ ἐπωνύμου σου νέος, μή πτήξας ἐργασίαν τήν ἐν νυξίν, ἀγρυπνίᾳ ἀσκήσεως, τήν κορυφήν ἐξεικόνισας ἀσκητῶν, Ἰωάννη Παμμακάριστε.

**Τ**ῶν θεριστῶν ἀγνοούντων, σύ θερίζων στάχυας, καί ἐν χαρᾷ συλλέξας, δράγματα Πάτερ ἐδείχθης, καλός τῆς βασιλείας τῶν οὐρανῶν ἐργάτης καί συνήθροισας εἰς ἀποθήκην, σωτήριον θερισμόν, τῶν ἀνθρώπων τῷ Κυρίῳ σου.

www.tezaurliturgic.ro



**Π**ρός διεξόδους ὑδάτων, φυτευθέν ὑψίκομον, καί καρποφόρον δένδρον, πάτερ ἡμῶν Ἰωάννη ὤφθης ἐν τῷ σπηλαίῳ τοῦ Κουρσανοῦ, παρά ρεῖθρον θαυμάσιον, τήν ψυχήν καρπωσάμενος ἀρεταῖς, ὑδρευθεῖσαν θείοις νάμασιν.

**Ὄ**μμα τυφλοῖς ἐγεννήθης, οὖς κωφοῖς εὐήκοον, γλῶσσα ἀλάλοις Πάτερ, καί ἀσθενέσιν ὑγεία, τοῖς δαιμονιζομένοις λύτρον πολύ, καί πρός τάρταρον δύναμις, ὡς Θεός θαυμαστώσας τήν δεξιάν, ἐπί σέ δημοσιεύσαντι.

*Δόξα. Ἦχος β'.*

**Ἰ**ωάννη θεριστά, στύλε ἄσειστε καί φέγγος θεῖον τῆς πανευσεβοῦς ἁγιωσύνης. Ἰδού ὀσμή ἀρετῶν σου, καθώς ἡ πλήρης ὀσμή πεδίου τοῦ εὐλογημένου ἐν Κυρίῳ, ἥ ἐμίχθη τοῖς κανόσι ᾠδῶν, λειτουργιῶν τε θυμιάμασιν· χαίροις, ὦ τοῦ ἐπωνύμου σου Προδρόμου ζηλωτής! Χαίροις διά τῆς ἀποταγῆς κόσμου ὄντως μαθητής τοῦ Σωτῆρος ἐγγύτερος· χαί-

www.tezaurliturgic.ro



ροις τῇ καθαρθείσῃ διαγωγῇ παρθένος καί μάρτυς διηνεκῶς τήν ἐπιθυμίαν τῆς σαρκός σταυρωθεῖσαν· χαίροις δι' ἀγάπης πρός τόν Θεόν καί εὐχῆς ἔνδοξε ὡς ἕν τῶν Σεραφείμ ἐνδειχθείς καί τῶν Χερουβείμ· ὦ χαίροις μοι χρηματισθείς μεσίτης διηνεκής τοῦ Ὑψίστου καί τῶν ἀνθρώπων, νῦν δέ μέτοχος πέλων τῆς ἐνθέου δόξης σύν τοῖς πατράσιν ἡμῶν δυσωπήθητι Θεόν, ὑπέρ τῶν σέ ἀνυμνούντων πανόλβιε, ὅπως καί τῆς αὐτῆς κληρονομήσωμεν πάντες αἰωνίου λαμπρότητος.

*Καί νῦν. Θεοτοκίον.*

**Μ**νήσθητι Δέσποινα ὡς ἀγαθή τῶν δούλων σου καί Λόγον δυσώπει ἐν σοί σωματούμενον· ὡς ἥν ποίμνην ἠγλάϊσεν, Αὐτός προσάξῃ πρεσβείαις σου εἰς τάς ἄνω μάνδρας, Παρθένε πανύμνητε.

www.tezaurliturgic.ro



## Εἰς τήν Λειτουργίαν

Ἀπόστολον καί Εὐαγγέλιον
ζήτει τήν ε΄ Δεκεμβρίου

*Μεγαλυνάριον**

**Χ**αίρετε Πατέρων ἡ κορωνίς – Ἀμβρόσιε, Νικόλαε, σύν Ἰωάννῃ τῷ Θεριστῇ· βίου γάρ ἐνθέου, στηλογραφία ὄντες, ὤφθητε Ἐκκλησίας στύλοι ἀκλόνητοι.

*Κοινωνικόν*

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.



www.tezaurliturgic.ro




*Φορητή εἰκών τοῦ Ὁσίου Ἰωάννου τοῦ Θεριστοῦ.*
*Εὑρίσκεται εἰς τό Μοναστήρι του*
*εἰς τήν Καλαβρίαν τῆς Μεγάλης Ἑλλάδος.*

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΙΩΑΝΝΗΝ ΤΟΝ ΘΕΡΙΣΤΗΝ ΕΚ ΤΟΥ ΣΤΥΛΟΥ ΤΗΣ ΚΑΛΑΒΡΙΑΣ

Εὐλογήσαντος τοῦ Ἱερέως, τό *Κύριε εἰσάκουσον,* μεθ' ὅ τό *Θεός Κύριος* ὡς συνήθως καί τά ἑξῆς:

*Ἦχος δ΄.* Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Ως κεκτημένος οὐρανόθεν τήν χάριν, πάσης ἀνάγκης καί παθῶν καί κινδύνων, καί νοσημάτων πάντας ἀπολύτρωσαι, Ἰωάννη Ὅσιε, τούς πιστῶς προσιόντας, τῇ θερμῇ πρεσβείᾳ σου, τόν Χριστόν ἱκετεύων, ἡμῖν διδόναι θεῖον ἱλασμόν, καί εἰρηναῖον, ἐν βίῳ κατάστασιν.

Δόξα. *Τό αὐτό.* Καί νῦν. *Θεοτοκίον.*

Οὐ σιωπήσωμεν ποτέ Θεοτόκε...

*Ὁ Ν΄ καί ὁ κανών τοῦ Ὁσίου.*

*Ὠδή α΄.* Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Αγγέλων συνόμιλος γεγονώς, σύν αὐτοῖς δυσώπει, τόν Σωτῆρα ὑπέρ ἡμῶν, πάσης ἡμᾶς ρύεσθαι ἀνάγκης, καί δυσχερείας, Ἰωάννη Ὅσιε.

www.tezaurliturgic.ro



Τρισμάκαρ Ἰωάννη ἐκτενῶς, δέησιν προσάγειν μή ἐλλείπῃς τῷ λυτρωτῇ, κινδύνων παντοίων διασῶσαι, τούς ἀδιστάκτῳ τῇ πίστει τιμῶντάς σε.

Σαρκός με τοῦ κλύδωνος προσβολή, μάκαρ Ἰωάννη, ἐκταράττει διηνεκῶς, εἰρήνευσον πάτερ, τῇ γαλήνῃ, ταῖς τοῦ Θεοῦ συμπαθέσι πρεσβείαις σου.

*Θεοτοκίον.*

Ἐκ σοῦ ἀνατέταλκεν ἐν σαρκί, ὁ πάντων Δεσπότης, ὥσπερ Ἥλιος τῆς ζωῆς, οὗ λάμπρυνον Κόρη ταῖς ἀκτῖσι, τήν σκοτισθεῖσαν ψυχήν μου τοῖς πάθεσι.

*Ὠδή γ΄.* Οὐρανίας ἁψῖδος.

Νοερῶς ἐποπτεύων, ὡς συμπαθής Ὅσιε, ταύτην τήν ἁγίαν Μονήν σου, τήν καταφεύγουσαν, ἀεί τῇ σκέπῃ σου, μή διαλίπῃς θεόφρον, ἐξ αὐτῆς πᾶν σκάνδαλον πόρρῳ ποιούμενος.

Ῥαντισμῷ τῶν θερμῶν σου, ἱκεσιῶν Ὅσιε, σβέσον τῶν παθῶν μου τήν φλόγα, τήν ψυχολέτειραν, καί τῇ καρδίᾳ μου, τό πῦρ τῆς θείας ἀγάπης, ἄναψον Ἰωάννη, τό ζωοδώρητον.

Ἐν ὀδύναις καί πόνοις, καί θλιβεραῖς μάστιξι, Πάτερ τήν ζωήν μου ἀνύων, πρός σέ κατέφυγον· μή οὖν παρίδῃς με, ἀλλά τῇ σῇ ἐπισκέψει, ἐκ τῶν συνεχόντων με, δεινῶν ἀπάλλαξον.

*Θεοτοκίον.*

Παναγία Παρθένε, τόν Λυτρωτήν τέξασα, λύτρωσαι παντοίων κινδύνων τούς σοί προστρέχοντας καί ἀνυμνοῦντάς σε, Θεοκυῆτορ Μαρία, τῶν πιστῶν βοήθεια, μόνη Πανύμνητε.

www.tezaurliturgic.ro



Διάσωσον τούς σούς ἱκέτας, Ἰωάννη Θεριστά, πολυτρόπων ἐπιφορῶν καί κακώσεων, καί τήν κατ' ἄμφω ὑγείαν ἡμῖν ἐξαίτει.

Επίβλεψον ἐν εὐμενείᾳ...

*Αἴτησις καί τό Κάθισμα.*

*Ἦχος β΄.* Πρεσβεία θερμή.

Προστάτην θερμόν, καί θεῖον ἀντιλήπτορα, καί κλέος σεπτόν, ἡ Καλαβρία σε κέκτηται, Ἰωάννη μακάριε, διά τοῦτο πίστει κραυγάζειν σοι· Μή διαλίπῃς πρεσβεύων Χριστῷ διδόναι ἡμῖν πταισμάτων ἄφεσιν.

*Ὠδή δ΄.* Εἰσακήκοα Κύριε.

Αποδίωξον Ὅσιε, τόν κατά τῆς Μάνδρας σου ὠρυόμενον, νοητόν ἐχθρόν καί βύθιον, τήν σήν εὐλογίαν ταύτῃ δωρούμενος.

Τῆς ζωῆς τῆς ἀμείνονος, πάντας καταξίωσον Πάτερ Ὅσιε, ταῖς ἁγίαις ἱκεσίαις, πρός Χριστόν Ἰωάννη τόν εὔσπλαγχνον.

Νοῦν ἀλάστορα ᾔσχυνας, τοῖς ἀθλητικοῖς σου σκάμμασιν Ὅσιε· διά τοῦτο δυσωποῦμέν σε, ἐκ φθορᾶς τόν νοῦν ἡμῶν ἀνύψωσον.

*Θεοτοκίον.*

Ιασαί μου τούς μώλωπας, τῆς ψυχῆς Παρθένε καί τοῦ σώματος, ἡ τεκοῦσα τόν ρυσάμενον, τόν Ἀδάμ τῆς πάλαι κατακρίσεως.

www.tezaurliturgic.ro



*Ὠδή ε΄.* Φώτισον ἡμᾶς.

Εὗρέ σε θερμόν, ἀντιλήπτορα ἡ Καλαβρία· διά τοῦτό σου τῇ χάριτι ἀεί, καταφεύγει καί λυτροῦται πάσης θλίψεως.

Ὕμνοις ἱεροῖς, Ἰωάννην ἀνευφημήσωμεν τόν Θεριστήν, ἀνακράζοντες, ὦ Πάτερ Ὅσιε, σαῖς λιταῖς ἡμᾶς οἰκτείρησον.

Σύντριψον σοφέ, τοῦ ἐχθροῦ τά μηχανήματα ἀβλαβῆ ἐκ τῆς αὐτοῦ ἐπιβουλῆς, διασώζων τήν Μονήν ταύτην δεόμεθα.

*Θεοτοκίον.*

Φέγγος ἀστραπῆς, τοῦ υἱοῦ σου Κόρη ἔλαμψε, τούς ἐν σκότει καθημένους καί σκιᾷ, καί ζωῆς τάς φωταυγείας ἐδωρήσατο.

*Ὠδή στ΄.* Τήν δέησιν ἐκχεῶ.

Δαιμόνων ἀποδιώκων τήν ρύμην, ἀσθενείας χαλεπάς ἰατρεύεις, καί τόν Ρουγιέρον ἐκ τοῦ ἕλκους καθαίρεις, καί τήν ὑγείαν παρέχεις τοῖς χρήζουσι, Ἰωάννη Θεριστά, τῶν ἐν Στύλῳ πιστῶν ἀγαλλίαμα.

Ρυσθῆναι πειρατηρίων τοῦ βίου καί τυχεῖν ἡμᾶς γαλήνης βαθείας, καί εὐσπλαγχνίας ρανίδας τῆς θείας, ἡμῖν δοθῆναι τόν Κτίστην ἱκέτευε, Ἰωάννη Θεριστά, Βοβόγγων πυρσός ὁ ἀκοίμητος.

Ἀσκήσει, εὐαρεστήσας Κυρίῳ, παρ' αὐτοῦ θεοπρεπῶς ἐδοξάσθης· ἔνθεν τούς πάντας προφθάνεις ὀξέως, καί κινδυνεύοντας σώζεις Ὅσιε· διό βοῶμέν σοι θερμῶς· βοηθός ἡμῖν ἔσο ἐν ἅπασι.

www.tezaurliturgic.ro



*Θεοτοκίον.*

Φωσφόρον σύ τοῦ Δεσπότου σκήνωμα, καί παλάτιον ὑπάρχεις τοῦ Λόγου, καί λογικόν τοῦ τῷ λόγῳ τά πάντα, πεποιηκότος Χριστοῦ ἐνδιαίτημα, Πανύμνητε Μῆτερ Θεοῦ, τήν ἀθλίαν ψυχήν μου ἐλέησον.

Διάσωσον πάσης ἀνάγκης καί θλίψεων τῶν ἐν βίῳ τούς ἐν πίστει τῇ σῇ πρεσβείᾳ προστρέχοντας, καί σέ τιμῶντας, Ἰωάννη Θεοφόρε.

Ἄχραντε, ἡ διά λόγου τόν Λόγον...

*Αἴτησις καί τό Κοντάκιον.*

*Ἦχος β΄.* Τοῖς τῶν αἱμάτων σου.

Ὡς τῶν Ὁσίων τῶν πάλαι ἰσότιμος, καί τῶν Ἁγίων Ἀγγέλων συνόμιλος, Ὅσιε Ἰωάννη Θεριστά, ὑπέρ ἡμῶν σύν αὐτοῖς καθικέτευε, ὥς ἄν πάσης βλάβης ρυώμεθα.

*Προκείμενον. Ἦχος δ΄.*

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

*Στίχος.* Μακάριος ὁ ἀνήρ ὁ φοβούμενος τόν Κύριον...

*Εὐαγγέλιον. Ἐκ τοῦ κατά Ματθαῖον (Κεφ. ια΄, 27-30).*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Πάντα μοι παρεδόθη ὑπό τοῦ Πατρός μου· καί οὐδείς ἐπιγινώσκει τόν Υἱόν, εἰμή ὁ Πατήρ· οὐδέ τόν Πατέρα τις ἐπιγινώσκει, εἰμή ὁ Υἱός, καί ᾧ ἐάν βούληται ὁ Υἱός ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καί πεφορτισμένοι κἀγώ ἀναπαύσω ὑμᾶς. Ἄρατε τόν ζυγόν μου ἐφ' ὑμᾶς, καί μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι,

www.tezaurliturgic.ro



καί ταπεινός τῇ καρδίᾳ, καί εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γάρ ζυγός μου χρηστός, καί τό φορτίον μου ἐλαφρόν ἐστιν.

*Δόξα.* Ταῖς τοῦ σοῦ Ὁσίου...
*Καί νῦν.* Ταῖς τῆς Θεοτόκου...

*Στίχος.* Ἐλέησόν με ὁ Θεός...

*Προσόμοιον. Ἦχος πλ. β΄.* Ὅλην ἀποθέμενοι.

Χάριν τήν τοῦ Πνεύματος, οἷα Κυρίου Θεράπων, κεκτημένος Ὅσιε, ὡς πηγήν ζωήρρυτον τῇ καρδίᾳ σου, πειρασμῶν ἄνθρακας, καί παθῶν τήν φλόγα καί τό πῦρ τό ἀνυπόστατον, σβεννύει πάντοτε, τῶν ἀρρωστημάτων καί θλίψεων, καί θυμηδίαν ἄνωθεν, νέμεις καί ὑγείαν τοῖς σπεύδουσι, τῇ σῇ προστασίᾳ, Ἰωάννη Ὁσίων καλλονή, Χριστόν ἡμῖν ἱλεούμενοι, τόν σέ θαυμαστώσαντα.

*Ὁ Ἱερεύς: Σῶσον ὁ Θεός τόν λαόν σου...*

*Ὠδή ζ΄.* Οἱ ἐκ τῆς Ἰουδαίας.

Γέρας θεῖον ἡ πόλις, τοῦ Στύλου εὑροῦσά σε Πάτερ Ὅσιε, ἀεί ἐπιβοᾶται, τήν σήν ἐπιστασίαν, ἥν μή παύσῃ δωρούμενος, ὡς ἄν πικρῶν πειρασμῶν, ρυώμεθα ταχέως.

Ἰατρεύσας τόν νέον, ἐκ τοῦ πυρός τό καταναλίσκον τό σῶμα αὐτοῦ, ἰάτρευσον παμμάκαρ κἀμοῦ τοῦ σοῦ ἱκέτου, τῆς ψυχῆς τά συντρίμματα, καί καχεξίας δεινάς, πικρῶς με τυραννούσας.

Μετά πίστεως πλείστης, καί πολλῆς εὐλαβείας Πάτερ τούς ἥκοντας, Μονῇ σου τῇ ἁγίᾳ, δέχου ἐν εὐμενείᾳ, οἷα πλήρης χρηστότητος, καί δίδου τούτοις σοφέ, τάς πατρικάς σου δόσεις.

www.tezaurliturgic.ro



*Θεοτοκίον.*

Εν λαγόσι σου Λόγον, καί Δεσπότην τῶν ὅλων, ἐκυοφόρησας, καί τρέφεις ἐκ μαστῶν σου, τόν πᾶσιν εὐκαιρίας, ἑτοιμάζοντα τράπεζαν· ὅν ἐκτενῶς, Ἀγαθή, ὑπέρ ἡμῶν δυσώπει.

*Ὠδή η΄.* Τόν Βασιλέα τῶν οὐρανῶν.

Ανωθεν σκέπε, τήν σήν Μονήν θεοφόρε, καί τήν Καλαβρίαν σύμπασαν τήν σήν χώραν, ἥν παρά Κυρίου, ὡς σχοίνισμα ἐκτήσω.

Σκέπε ἀπαύστως, τήν σήν Μονήν τήν ἁγίαν, καί πρυτάνευε αὐτῇ τῇ σῇ πρεσβείᾳ, Πάτερ Ἰωάννη, τάς πατρικάς σου δόσεις.

Επίδε Πάτερ, ἐπί τούς σπεύδοντας πίστει, τῇ ἁγίᾳ Μονῇ σου καί δίδου τούτοις, τῆς σῆς προστασίας τάς σωτηρίους δόσεις.

*Θεοτοκίον.*

Αγγέλων δόξα, καί τῶν βροτῶν σωτηρία, ἀεί Παρθένε Μαρία Θεοτόκε, σῶσόν με σόν δοῦλον, χειρῶν τῶν τοῦ Βελίαρ.

*Ὠδή θ΄.* Κυρίως Θεοτόκον.

Ροήν μου τῶν δακρύων, δέξαι γαληνίως, καί ταῖς πρεσβείαις σου πάντα τοῦ σώματος, καί τῆς ψυχῆς Ἰωάννη, τά ἕλκη ἔκπλυνον.

Ισχύν ἡμῖν ἐξαίτει, κατά πάσης βλάβης, τοῦ βροτοκτόνου ἐχθροῦ Ἰωάννη Ὅσιε, παρά Χριστοῦ τοῦ ἀξίως σε θαυμαστώσαντος.

Μονήν σου τήν ἁγίαν, σκέπε Θεοφόρε, καί τῇ Καλαβρίᾳ ἁπάσῃ πρυτάνευε, τῆς πατρικῆς εὐλογίας σου τά δωρήματα.

www.tezaurliturgic.ro



*Θεοτοκίον.*

Μαρία, ἐκτακεῖσαν, τήν οἰκτράν ψυχήν μου, τῆς ἁμαρτίας φλογμῷ καταδρόσισον, τοῦ σοῦ ἐλέους ρανίσι, καί σῶσον Πάναγνε.

*Τό Ἄξιόν ἐστι καί τά Μεγαλυνάρια.*

Χαίροις ὁ τῆς Πανόρμου γόνος λαμπρός, χαίροις Καλαβρίας, ὁ ἀσύλητος θησαυρός, χαίροις καί τοῦ Στύλου ὁ φύλαξ καί προστάτης, ὦ Πάτερ Ἰωάννη, πιστῶν τό καύχημα.

Χαίροις τοῦ Παλέρμου θεῖος βλαστός, χαίροις Καλαβρίας θεοδώρητος θησαυρός· χαίροις Βοβόγγων καί πάσης Μεγάλης Ἑλλάδος, ἀντίληψις καί κλέος, Ἰωάννη Ὅσιε.

Ἔχοντες εἰκόνα σου τήν σεπτήν, πάτερ Ἰωάννη, ὥς προπύργιον ὀχυρόν, προσφεύγομεν ταύτῃ, ἐν πᾶσι τοῖς κινδύνοις, καί ἐκ παντοίας βλάβης ἀπολυτρούμεθα.

Τῇ σῇ προστασίᾳ τῇ πατρικῇ, τήν σεπτήν Μονήν σου, διαφύλαττε ἀβλαβῆ, Ὅσιε Ἰωάννη, καί πλήρου τάς αἰτήσεις, τῶν εὐλαβῶς τελούντων, τήν θείαν μνήμην σου.

Πόθῳ ἠκολούθησας τῷ Χριστῷ, ἐκ παιδός θεόφρον, ἀνενδότῳ Πάτερ σπουδῇ, καί σοφῶς ἐμπρέψας, θεοφιλεῖ ἀσκήσει, τῆς χάριτος ταμεῖον, ὤφθης μακάριε.

Ἴδου τά αἰτήματα συμπαθῶς, τοῖς ἁπανταχόθεν, προσιοῦσι πίστει θερμῇ, τῇ σεπτῇ Μονῇ σου, Πάτερ Ἰωάννη, ἰώμενος τούς πόνους ψυχῆς καί σώματος.

www.tezaurliturgic.ro



Πᾶσαι τῶν Ἀγγέλων...

Τό Τρισάγιον. Τό Ἀπολυτίκιον τοῦ Ὁσίου.
*Ἦχος γ΄.* Θείας πίστεως.

Ἴσος ἔλαμψας ἐν τῇ ἀσκήσει, νῦν Ἰωάννῃ τῷ συνωνύμῳ, πολιτείαν ζηλώσας ἰσάγγελον, καί τῶν ἐνθέων χαρίτων ἠξίωσας, καί ἀσθενούντων ἀκέστωρ καθέστηκας· ὅθεν πάντες εὐσεβοφρόνως δεόμεθα, τήν σήν διατηρεῖν πατρίδα ἄτρωτον.

*Ὁ Ἱερεύς ὡς ἔθος μνημονεύει.*

Ἐν τῇ ἀπολύσει, καί τῇ προσκυνήσει τῆς πανσέπτου σοροῦ ἤ τῆς εἰκόνος τοῦ Ὁσίου, ψάλλομεν τά παρόντα Προσόμοια.

*Ἦχος β΄.* Ὅτε ἐκ τοῦ ξύλου.

Πάντας τούς προσπίπτοντας πιστῶς, Πάτερ τῇ σεπτῇ σου εἰκόνι, καί τοῖς λειψάνοις σου, Ἰωάννη Ὅσιε, τῶν Καλαβρῶν ἡ χαρά, ἀνωτέρους διάσωζε, παθῶν καί κινδύνων, καί παντοίων θλίψεων, τῇ προστασίᾳ σου, αἴτει δέ ἡμῖν θεοφόρε, ἄφεσιν πταισμάτων θεόθεν, καί νόσων ἀπολύτρωσιν.

*Δόξα.*

Πάντας τούς προσπίπτοντας πιστῶς, τῇ σορῷ τῶν θείων λειψάνων, τῶν σῶν Ἰωάννη σοφέ, πάσης περιστάσεως ῥῦσαι καί θλίψεως, καί σκανδάλων ἀλώβητον ταύτην διατήρει, τήν Μονήν δεόμεθα, τῇ ἀντιλήψει σου, αἴτει δέ πταισμάτων τήν λύσιν, καί ἀπαλλαγήν πάσης νόσου, τοῖς τάς ἀρετάς σου μακαρίζουσι.

www.tezaurliturgic.ro



*Καί νῦν.* Θεοτοκίον.

Πάντας ἡμᾶς οἴκτειρον ἁγνή, Μῆτερ τοῦ Θεοῦ καί Παρθένε, προσπεφευγότας ἐν σοί, καί σοῦ τήν ἀντίληψιν ἐπιζητοῦντας θερμῶς, σόν οἰκέτην προβάλλοντες, Ἰωάννην θεῖον, πρέσβυν νῦν πανάριστον, οὗ ταῖς εὐχαῖς τῶν δεινῶν, ῥῦσαι καί φθορᾶς καί κινδύνων, καί ἐπιτυχεῖν βασιλείας, σοῦ Υἱοῦ ἀξίωσον δεόμεθα.

***ΔΙΣΤΙΧΟΝ.***

*Ἰωάννη πρόσδεξαι τήν δέησίν μου.*
*Καί χάριν χορήγει μοι σῷ Εὐαγγέλῳ.*

www.tezaurliturgic.ro

# ΧΑΙΡΕΤΙΣΜΟΙ
## ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΙΩΑΝΝΗΝ ΤΟΝ ΘΕΡΙΣΤΗΝ ΤΟΝ ΕΚ ΤΟΥ ΣΤΥΛΟΥ ΤΗΣ ΚΑΛΑΒΡΙΑΣ

*Κοντάκιον. Ἦχος πλ. δ΄.* Τῇ Ὑπερμάχῳ.

Τόν ἐν Καλαβρίᾳ ὡς ἀστέρα διαλάμψαντα δι᾽ ἰσαγγέλου πολιτείας καί ἀσκήσεως μακαρίσωμεν ἀξίως ᾄσμασι θείοις ὡς θερμόν ἡμῶν μεσίτην πρός Κύριον ἐν ἀνάγκαις καί ἐν θλίψεσι προΐστασο τῶν βοώντων σοι, χαίροις Ὅσιε Ἰωάννη.

Ἄγγελος ἐν τῷ Στύλῳ, ὡς Καλαβρῶν πάντων μείζων ἐδείχθης Θεριστά Ἰωάννη· (ἐκ γ΄) καί σύν τῇ ἀγγελικῇ ζωῇ, καταλλήλοις διαλάμπεις χάρισι, δι᾽ ὧν καταφαιδρύνεις, ἡμᾶς τούς πίστει ἐκβοῶντας·

**Χ**αῖρε τοῦ Στύλου ἡ εὐκοσμία
**Χ**αῖρε τῆς Καλαβρίας ἡ δαδουχία

**Χ**αῖρε ὁ τύπος τῆς ἐγκρατείας
**Χ**αῖρε ὁ λύχνος τῆς ἀπαθείας

**Χ**αῖρε λαμπάς ἠθῶν τῆς σεμνότητος
**Χ**αῖρε πυρσός τῆς ἄνω λαμπρότητος

www.tezaurliturgic.ro



Χαῖρε κρήνη τῶν ἰαμάτων
Χαῖρε λύσις τῶν παθημάτων

Χαῖρε σκεῦος λαμπρῶν χαρισμάτων
Χαῖρε βρύσις ποικίλων θαυμάτων

Χαῖρε δι' οὗ οἱ Ρωμηοί βεβαιοῦνται
Χαῖρε δι' οὗ οἱ Φράγκοι ἐκπτοοῦνται.

*Χαίροις Ὅσιε Ἰωάννη Θεριστά.*

Βλέμμα τό τῆς ψυχῆς σου, ὁλικῶς ἀνατείνων, πρός δόξαν τοῦ Σωτῆρος τήν θείαν, προσῆλθες ὁλοψύχῳ σπουδῇ, τῇ τοῦ Στύλου Μονῇ Ἰωάννη, καί μοναστής θεόληπτος, ἐδείχθης τῷ Κυρίῳ ψάλλων·

*Ἀλληλούϊα.*

Γνώμη ἐν θεολήπτῳ ὡς τρωθείς θείῳ πόθῳ, προσῆλθες ἐν τῇ Ἱερᾷ Μονῇ τοῦ Στύλου, καί δι' ἐναρέτου ἀγωγῆς, πρός ὄρη ὑψώθης τά αἰώνια, κατά Δαυΐδ, Ἰωάννη, ἀκούων παρ' ἡμῶν ταῦτα·

Χαῖρε τῆς Καλαβρίας ὁ λαμπαδοῦχος
Χαῖρε τοῦ Στύλου ὁ πολιοῦχος

Χαῖρε ὅτι τοῦ κόσμου ὁλικῶς ἐμακρύνθης
Χαῖρε ὅτι ἐν ἐρήμῳ πρός τά ἄνω ἰθύνθης

Χαῖρε σάλπιγξ Ὀρθοδοξίας
Χαῖρε μάστιγξ κακοδοξίας

Χαῖρε ὄρπηξ ἀθανασίας
Χαῖρε γνώμων ποιμαντορίας

Χαῖρε ζωῆς ὁσίας ταμεῖον
Χαῖρε φωτός ἀΰλου δοχεῖον

www.tezaurliturgic.ro



**Χ**αῖρε Μεγάλης Ἑλλάδος φωστήρ ὁ ἀείφωτος
**Χ**αῖρε Καλαβρίας καί Σικελίας πυρσός ὁ ἀκοίμητος.

*Χαίροις Ὅσιε Ἰωάννη Θεριστά.*

Δύναμιν δεδεγμένος, καί οὐράνιον σθένος, Χριστόν ὡς ἐκ ψυχῆς ἀγαπήσας, ἐχώρησας ἀνδρείᾳ ψυχῇ, πρός τά τῆς ἀσκήσεως Ὅσιε σκάμματα, καί ἔνθους ὦ Ἰωάννη, τῷ δυναμοῦντί σε ἐβόας·

*Ἀλληλούϊα.*

Ἔχων σου τήν καρδίαν, τῷ πυρί φλεγομένην, τοῦ φόβου τοῦ Θεοῦ ἀνενδότως, ἀγγελικήν μετῆλθες ζωήν, καί τάς ἐν αὐτῇ διατρανεῖς χάριτας, ὡς φωτισθείς τῷ Πνεύματι, Ἰωάννη τοῖς ἐκβοῶσι·

**Χ**αῖρε τύπος καί παράδειγμα Ὀρθοδόξων Καλαβρῶν
**Χ**αῖρε γέρας καί διάδημα εὐλαβῶν Σικελιωτῶν.

**Χ**αῖρε ὁ μύστης ὁσίων πόνων
**Χ**αῖρε ἡ δέλτος ἁγίων λόγων

**Χ**αῖρε ὄργανον τῆς ἀθλήσεως
**Χ**αῖρε ἔσοπτρον τῆς θεώσεως

**Χ**αῖρε στάχυς θείων καμάτων
**Χ**αῖρε σύσκηνε τῶν Ἀσωμάτων

**Χ**αῖρε Θεοῦ μυστηρίων ἐπόπτα
**Χ**αῖρε κλεινέ Θεριστά καί θεόπτα

**Χ**αῖρε ἐπιπνοίας τῆς θείας θησαύρισμα
**Χ**αῖρε Καλαβρίας καί Σικελίας τό ὡράϊσμα.

*Χαίροις Ὅσιε Ἰωάννη Θεριστά.*

Ζήλῳ θείῳ ἐμπρέπων, καί πολλῇ διακρίσει, καί πλούτῳ θεοσδότου σοφίας, ἐδείχθης λύχνος παν-

www.tezaurliturgic.ro

τός καλοῦ, ἐν τῇ τοῦ Στύλου Μονῇ Ἰωάννη, καταυγάζων τοῖς λόγοις σου τούς εὐλαβῶς Θεῷ βοῶντας·

*Ἀλληλούϊα.*

Ἤκουσας τάς ἐνθέους, ἀρετῶν ἐπιδόσεις, Ἀμβροσίου καί Νικολάου, καί τούτοις προσῆλθες ἐν σπουδῇ, παιδοτριβούμενος Πάτερ τοῖς κρείττοσι· διό σε ὦ Ἰωάννη, γεραίροντες πιστῶς βοῶμεν·

Χαῖρε τοῦ Παρακλήτου τό ὑπέρτιμον σκεῦος
Χαῖρε τῶν Καλαβρῶν τό θεόσδοτον σθένος.

Χαῖρε ὅσιε θεηγόρε
Χαῖρε Θεριστά θεοφόρε

Χαῖρε θέαμα τῶν Ἀγγέλων
Χαῖρε ἔκπληξις τῶν Δικαίων

Χαῖρε ἀπόρων ἡ εὐπορία
Χαῖρε εὐπόρων παιδαγωγία

Χαῖρε ὁ μέγας ἐν τῇ φρονίσει
Χαῖρε ὁ ἔνθους ἐν τῇ ἀσκήσει

Χαῖρε ἔφορε τῶν Ὀρθοδόξων
Χαῖρε πρόβολε τῶν ἐκβοώντων.

*Χαίροις Ὅσιε Ἰωάννη Θεριστά.*

Θεϊκῆς ἐπιπνοίας, σεαυτόν ἐκκαθάρας, ἐπλήσθης ὦ Ἰωάννη μάκαρ, καί ὤφθης ἀστήρ θεολαμπής, ὑπακοῆς ἀπαυγάζων τάς χάριτας, τοῖς μονασταῖς τῆς Καλαβρίας, βοῶσι μετά σοῦ Κυρίῳ·

*Ἀλληλούϊα.*

Ἵνα ἀναπτερώσῃς τῷ Θεῷ θεοφόρε, νοός σου τάς κινήσεις ἁπάσας, φυλακήν αἰσθήσεων στερράν, μετ-

www.tezaurliturgic.ro


ἦλθες πρός ἥν διδάσκεις θέλοντας, τυχεῖν θείας ἑνώσεως, ἐν τῷ βοᾶν σοι Πάτερ οὕτω·

**Χ**αῖρε τό ἄστρον τῆς Κάτω Ἰταλίας
**Χ**αῖρε τό φέγγος τῆς Καλαβρίας

**Χ**αῖρε ὅρμος χειμαζομένων λαϊκῶν
**Χ**αῖρε βάσις ριπιζομένων μοναχῶν

**Χ**αῖρε λαμπηδών τῆς ἐνθέου ἀγάπης
**Χ**αῖρε φρυκτωρία Καλαβρίας ἁπάσης

**Χ**αῖρε πίστεως ὁ μαργαρίτης
**Χ**αῖρε ἄριστος Χριστοῦ ὁπλίτης

**Χ**αῖρε λαμπτήρ ψυχῆς μου καί ἥδυσμα
**Χ**αῖρε τρυφή νοός μου καί στήριγμα

**Χ**αῖρε ἔφορε τῶν Μοναζόντων
**Χ**αῖρε φύλαξ τῶν ἐκβοώντων.

*Χαίροις Ὅσιε Ἰωάννη Θεριστά.*

Κήρυξ ὤν εὐσεβείας, ὑπέρ ταύτης ποικίλας, ὑπέστης γεγηθώς κακουχίας· δογμάτων γάρ τῶν αἱρετικῶν, κατατολμᾶν παρηγγύας Ἰωάννη, τούς αἱρουμένους Ὅσιε, σύν σοί κραυγάζειν τῷ Χριστῷ·

*Ἀλληλούϊα.*

Λάμψας ἐν τῷ Στύλῳ, ὡς νεόφωτον ἄστρον, λαμπρύνει τήν Μεγάλην Ἑλλάδα, τῶν ἀρετῶν σου μαρμαρυγαῖς, Ἰωάννη Θεριστά Ὅσιε· ἐντεῦθεν πυρσευόμενοι, τῷ φωτί σου ἀναβοῶμεν·

**Χ**αῖρε Μεγάλης Ἑλλάδος ὁ μέγας διδάσκαλος
**Χ**αῖρε τῶν Ὁσίων τῶν πάλαι ἐφάμιλλος

**Χ**αῖρε Καλαβρῶν θερμότατε πρέσβυ
**Χ**αῖρε πρόμαχε τοῦ Παλέρμου καί σκέπη

www.tezaurliturgic.ro

Χαῖρε τό νῖκος τῶν Ὀρθοδόξων Ἰταλῶν
Χαῖρε ἡ πτῶσις τῶν κακοδόξων παπικῶν

Χαῖρε ἄστρον φωτός ἀδύτου
Χαῖρε πτῶσις ἐχθροῦ δολίου

Χαῖρε Θεοῦ εὐσπλαγχνίας ἡ γλῶσσα
Χαῖρε Ὀρθοδόξων Καλαβρῶν ἡ δόξα

Χαῖρε ἀστήρ τῆς κτίσεως ἄδυτε
Χαῖρε πατήρ ἡμῶν καί διδάσκαλε.

*Χαίροις Ὅσιε Ἰωάννη Θεριστά.*

Μοναστής θεοφόρος, ἐν ἀσκήσει τελείᾳ, ἐδείχθης ἐν τῷ ὄρει τοῦ Στύλου, ἐκλάμπων τῆς ἐν Χριστῷ ζωῆς, τάς ἀναβάσεις Ἰωάννη Ὅσιε, δι' ὧν παιδεύεις ἄριστα, τούς ἐν ἀσκήσει βοῶντας·

Ἀλληλούϊα.

Νέαν χάριν βραβεύεις, ἐν ἐρήμῳ τοῦ Στύλου, ὡς ἔμπλεως φωτός τοῦ ἀΰλου· ταύτης γάρ οἰκήτωρ καί πολιστής, ἐδείχθης Ἰωάννη Θεριστά Ὅσιε· διό ἡμεῖς τά τέκνα σου βοῶμέν σοι ἐν εὐφροσύνῃ·

Χαῖρε τοῦ Στύλου τό μέγα κλέος
Χαῖρε τῆς Καλαβρίας τό θεῖον εὖχος

Χαῖρε ἄμπελος πράξεων θείων
Χαῖρε ἄροτρον πόνων ἁγίων

Χαῖρε λαμπρέ συμπολῖτα Ἀγγέλων
Χαῖρε ζωῆς τοῦ καρποῦ ὁ μετέχων

Χαῖρε Ὀρθοδόξων Καλαβρῶν καί Σικελῶν ὁ ἔπαινος
Χαῖρε ἀσεβούντων παπικῶν ὁ ἔλεγχος

Χαῖρε τῶν Χριστωνύμων ἡ νίκη
Χαῖρε τῶν δυσωνύμων αἰσχύνη

www.tezaurliturgic.ro


Χαῖρε Σικελῶν φωστήρ ὁ ἀείφωτος
Χαῖρε Καλαβρῶν πυρσός ὁ ἀκοίμητος.

*Χαίροις Ὅσιε Ἰωάννη Θεριστά.*

Ξένον ἄκουσμα πέλει, πρός ἡμᾶς τά σά τέκνα, ἡ ἔκφανσις τῆς σῆς προστασίας· ποικίλοις γάρ τρόποις νοερῶς, τῇ σῇ Μονῇ ὁρᾶσαι Ἰωάννη Ὅσιε, χαρᾶς πληρῶν καί χάριτας, καί εὐλογῶν τούς ἐκβοῶντας·

*Ἀλληλούϊα.*

Ὅλην τήν Καλαβρίαν καί Σικελίαν, θεουργά οἷα φῶτα αἱ θεόθεν διδαχαί σου, φωτίζουσι Ἰωάννη μυστικῶς καί πρός τελειοτέραν γνῶσιν ἄγουσι, τούς ὑπακούοντας αὐταῖς, καί βοῶντάς σοι ὁμοφώνως·

Χαῖρε ὅτι εἱλκύσθης Ἰωάννη θεόθεν
Χαῖρε ὅτι ἐστέφθης Ὅσιε ὑψόθεν

Χαῖρε ὅτι ἐφάνης Θεοῦ δοῦλος πιστός
Χαῖρε ὅτι ἐγένου Χριστοῦ φίλος ἀγαπητός

Χαῖρε ἄνθραξ θεογνωσίας
Χαῖρε ὅρπηξ ἀθανασίας

Χαῖρε ρόδον τό ἀειθαλές
Χαῖρε σέλας τό χρυσοειδές

Χαῖρε φύσεως βροτείας θαῦμα
Χαῖρε τάξεως Βελίαρ τραῦμα

Χαῖρε Καλαβρῶν σεπτόν ἀγαλλίαμα
Χαῖρε Σικελῶν τό θεῖον ἐντρύφημα.

*Χαίροις Ὅσιε Ἰωάννη Θεριστά.*

Πλήρης δόξης ἁγίας, ἡ Μονή σου ὁρᾶται, Ἰωάννη ἡ ἐν Καλαβρίᾳ· ἐν αὐτῇ γάρ ὄψει μυστικῇ,

www.tezaurliturgic.ro

ἐπευλογεῖς νοερῶς τούς προστρέχοντας, καί ἐκπληροῖς ἑκάστοτε, τά αἰτήματα τῶν βοώντων·

*Ἀλληλούϊα.*

Ρήματα σωτηρίας, ἐπιφάνηθι Πάτερ, καί φώνησον ἡμῖν τοῖς σοῖς τέκνοις· ἡ γάρ φωνή σου πλήρης ἀγαθῶν, καί ἡ ὄψις σου γλυκεῖα Ἰωάννη Ὅσιε· πρός σέ γάρ ἀφορῶμεν, ἐν εὐλαβείᾳ βοῶντες·

**Χ**αῖρε Λόγου ἡ εὐωδία
**Χ**αῖρε κόσμου ἡ θυμηδία

**Χ**αῖρε γνώμων τῆς θεωρίας
**Χ**αῖρε βότρυ τῆς ἡσυχίας

**Χ**αῖρε ἄσαρκε ἐν σαρκίῳ
**Χ**αῖρε κρίνε ἐν Παραδείσῳ

**Χ**αῖρε σκεῦος λαμπρῶν χαρισμάτων
**Χ**αῖρε βρύσις ποικίλων θαυμάτων

**Χ**αῖρε ὁ πτερώσας τόν νοῦν πρός οὐράνια
**Χ**αῖρε ὁ πλουτήσας ἐκεῖθεν τά ἄρρητα

**Χ**αῖρε στοργῆς τελείας θησαύρισμα
**Χ**αῖρε χοροῦ Ὁσίων ὡράϊσμα.

*Χαίροις Ὅσιε Ἰωάννη Θεριστά.*

Συμπαθῶς ἐπιφαίνῃ, μυστικαῖς ἐποψίαις, τῇ ἱερᾷ σου Μονῇ ἐν τῷ ὄρει, καί τάς πατρικάς σου δωρεάς, ἑνί ἑκάστῳ δίδως Ἰωάννη Ὅσιε, ἡμᾶς δέ τῇ ἀγάπῃ σου, ἐκπλήττεις Κυρίῳ κραυγάζειν·

*Ἀλληλούϊα.*

Τόν ἀγῶνα τελέσας τῆς ὁσίας ζωῆς σου, Ἰωάννη μετέστης τῷ Κυρίῳ, καί συνήφθης Ὁσίων χο-

www.tezaurliturgic.ro


ροῖς, ὧν ἰσοστάσιος ὤφθης ἐν ἅπασι, μεθ' ὧν ἀεί ἱκέτευε, ὑπέρ ἡμῶν τῶν σοί βοώντων·

**Χ**αῖρε τῶν Ἀγγέλων τόν βίον μιμούμενος
**Χ**αῖρε τῶν μελλόντων τήν γνῶσιν τυπούμενος

**Χ**αῖρε Χριστοῦ εὐῶδες κειμήλιον
**Χ**αῖρε παθῶν παντοίων λυτήριον

**Χ**αῖρε κτίσεως φωταγωγία
**Χ**αῖρε πίστεως λαμπαδουχία

**Χ**αῖρε πάροικε τῶν ἐνύλων
**Χ**αῖρε μέτοχε τῶν ἀΰλων

**Χ**αῖρε μῦστα Χριστοῦ κοινωνίας
**Χ**αῖρε στήλη λαμπρᾶς ἀριστείας

**Χ**αῖρε τό ἄνθος τοῦ Παραδείσου
**Χ**αῖρε ὁ δόναξ τοῦ Παρακλήτου.

*Χαίροις Ὅσιε Ἰωάννη Θεριστά.*

Υμνοις σε χαρμοσύνοις, ἀνυμνεῖ ἡ Μεγάλη Ἑλλάς, τρυφῶσα τῶν πολλῶν σου θαυμάτων· τίς γάρ σοι ἐν θλίψει προσελθών, καί οὐκ ἔτυχε τῆς σῆς ἀντιλήψεως, τοῖς πᾶσι γάρ ταχύτατος, εὑρίσκῃ ἀρωγός βοῶσιν·

*Ἀλληλούϊα.*

Φέγγος τῶν ἰαμάτων, καί ὀσμήν χαρισμάτων, ὡς θήκη νοητῶν ἀρωμάτων, ἀρωματίζουσα δαψιλῶς, ἡ τῶν λειψάνων σου σορός Ἰωάννη, εἰς Στῦλον μετενήνεκται ἐκ τῆς Μονῆς σου, ἁγιάζουσα τούς βοῶντας·

**Χ**αῖρε τῆς Χάριτος μυροθήκη
**Χ**αῖρε τοῦ Πνεύματος ἔμπνους στήλη

www.tezaurliturgic.ro


Χαῖρε φωτός δοχεῖον πολύτιμον
Χαῖρε ἡμῶν ἀνάδημα τίμιον

Χαῖρε στέφη ζωῆς δεδεγμένος
Χαῖρε κλέος κεκληρωμένος

Χαῖρε χαρισμάτων εὐωδέστατε κῆπε
Χαῖρε ἀθλημάτων ἀρραγέστατε στῦλε

Χαῖρε ἔαρ τό πολύανθον μυροφόρων ἀγαθῶν
Χαῖρε σκεῦος τό μυρόχριστον μυριπνόων δωρεῶν

Χαῖρε μῦρον τό πανεύοσμον τῆς ἀσκητικῆς ζωῆς
Χαῖρε ἄρωμα οὐράνιον βιωτῆς πνευματικῆς.

*Χαίροις Ὅσιε Ἰωάννη Θεριστά.*

Χαίρει ἅπασα ἡ Κάτω Ἰταλία, Πάτερ Ἰωάννη, καυχωμένη τῇ σῇ ἀγλαΐᾳ, ἐξαιρέτως δέ ἡ πόλις τοῦ Στύλου τῆς Καλαβρίας, ἡ ἱερά σου μονή, σύν τῷ σπηλαίῳ σου, ἐν ᾧ ψάλλει·

*Ἀλληλούϊα.*

Ψάλλοντές σου τούς ὕμνους, Πάτερ Ἰωάννη, ὑμνοῦμέν σου τό μέγιστον κλέος· Ὅσιος γάρ ἐνώπιον τοῦ Θεοῦ, ἐχρημάτισας· διό ἐκ τῆς μεγίστης σου χάριτος, δίδου τοῖς βοῶσι·

Χαῖρε θερμῆς προσευχῆς ἐναύλισμα
Χαῖρε Καλαβρῶν θεόσδοτον καύχημα

Χαῖρε σκηνῆς τῆς ἄνω οἰκήτωρ
Χαῖρε Σικελῶν θερμός ἀντιλήπτωρ

Χαῖρε ζωῆς τῆς ἐμῆς θυμηδία
Χαῖρε νοός τοῦ ἐμοῦ θεραπεία

Χαῖρε ὁ καθαίρων ψυχῆς τά νοσήματα
Χαῖρε ὁ πυρσεύων ἡμῶν τά νοήματα

www.tezaurliturgic.ro



**Χ**αῖρε ὁ κήρυξ τῆς μετανοίας
**Χ**αῖρε ὁ λύτης τῆς ἀπονοίας

**Χ**αῖρε ἄγγελε σαρκοφόρε
**Χ**αῖρε ἄνθρωπε θεοφόρε.

*Χαίροις Ὅσιε Ἰωάννη Θεριστά.*

Ω Ἰωάννη Θεριστά, Καλαβρίας τό θαῦμα, καί πάσης Μεγάλης Ἑλλάδος τό κλέος (ἐκ γ΄)˙ τήν παροῦσαν ἡμῶν προσφοράν, εὐμενῶς προσδέχου καί δίδου ἅπασι, φῶς θεῖον ἱκεσίαις σου, ὡς ἄν ἀεί Θεῷ βοῶμεν˙

*Ἀλληλούϊα.*

### ΔΙΣΤΙΧΟΝ

*Ἰωάννη χαῖρέ σοι ἀναβοῶντα˙*
*Εὐάγγελον πλήρωσον χάριτος θείας.*

www.tezaurliturgic.ro

ISBN: 960-8144-92-2